# Περὶ Ἠθῶν, Παθῶν, καὶ Χαρακτήρων.

Ἡ ἀναθεώρησις ἔφη τῶν ἠθῶν, ϗ ἡ τῶν χαρακτήρων οὐκ ἐπιπόλαιος, ἀλλὰ κατὰ βάθος ἔρευνα, ξυγγραφῆτε ϗ ῥητορικῇ κωμῳδίᾳ τε ϗ τραγῳδίᾳ ἐςὶν ἀναγκαιοτάτη. Οἱ γὰρ ἱςορίαν ξυγγράφοντες, εἰ μήγε καλῶς ζωγραφεῖν εἴδοιεν τῶν πολιτειῶν, ϗ τῶν ἐμπολιτευομένων τὰ ἤθη, πάνυ ἀγεννῶς αὐταῖς χωρήσει τὰ μετὰ χεῖρας· εἰ δὲ ϗ ζωγράφῳ συνεβούλευεν ὁ Σωκράτης τοῖς χρώμασιν ἀπεικάζειν τὰ ἤθη, πιθανώτατον, ϗ ἥδιςον, ϗ φιλικώτατον, ϗ ποθεινότατον, ϗ ἐρασμιώτατον εἶναι λέγων ἀπομιμεῖσθαι τῆς ψυχῆς ἦθος, τὸ μεγαλοπρεπέςτε ϗ ἐλευθέριον, τὸ ταπεινόντε ϗ ἀνελεύθερον, ϗ τὸ σωφρονικόντε ϗ φρόνιμον, ϗ τὸ ὑβριςικόντε ϗ ἀπειρόκαλον, ἔργον ἂν εἴη τοῦτ' ἀναγκαιότατον τῷ ἱςορίαν ξυγγράφοντι. ϗ διὰ ταῦτ' ἄρα αἱ Ἡροδότου Μοῦσαι διὰ θαύματος ἄγονται·

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ

Ε.Υ.Δ. της Κ.τ. Π
ΙΩΑΝΝΙΝΑ 2005

πρῶτος γὰρ ἐκεῖνος ἐκόσμησε τὴν ἱστορίαν ἐγκαταμίξας τὰ ἤθη, οὗ μιμηταὶ γενόμενοι Θουκυδίδης καὶ Ξενοφῶν, ὅτι μάλιστα πολυτελέστατα κειμήλια τὰ θεσπέσια αὐτῶν ὑπομνήματα εἰς τὸν ἔπειτ' αἰῶνα παραπέμψαντο, προσεπικοσμήσαντες τὴν ἱστορίαν δημηγορίαις καταλλήλοις προσώποις, καὶ καιρῷ, καὶ πράγμασιν, ἀφ' ὧν ὡς ἀπὸ διειδεστάτων πηγῶν οἱ τὴν παμφορωτάτην Ῥωμαίων ἱστορίαν τῇ Ἑλλήνων καὶ Λατίνων φωνῇ ξυγγράψαντες, τὰ διαυγῆ τῶν ἀκριβεστάτων λόγων ἀρυσάμενοι νάματα, ἀπλέτῳ κλέει τὸν αἰῶνα περιεβάλοντο. Προϊόντος δὲ τοῦ χρόνου εἴτ' ἀμαθείας ἐπιπολαζούσης, εἴτ' ἀλαζονείας ἐπισκοτούσης τοῖς γε πλείοσι τῶν ἐνστησαμένων ἱστορίας συγγράψαι; ἡ μὲν τῶν ἠθῶν περιγραφὴ, καὶ ἡ τῶν χαρακτήρων, ὡς ἔπος εἰπεῖν, εὐφυὴς ἀνατομὴ, ὧν ἤρτηται ἥτε τοῦ βίου κατάστασις, καὶ ἡ τῶν πράξεων πρόοδος παραλέλειπται. εἰς δύο δὲ σχισθέντος τοῦ τρόπου τῆς διηγήσεως, οἱ μὲν τῶν ξυγγραψάντων ἱστορίας ἔτ' ἐν αὐλαῖς βιώσαντες, οὔτε πολεμικῶν ἔργων ἀψά-

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2005

μενοι, ἢ κἂν θεαταὶ γενόμενοι, ἀλλ' οἵγε πλείυς μοναδικὸν βίον ᾑρημένοι, ἃ παρ' ἄλλων εἰληφότες ἦσαν, ἀνθηραῖς λέξεσι καλλύναντες, ἀναπήρυς, ἢ κωφὰς ἱςορίας προήγαγον ἐς τὸ κοινὸν τῦ βίυ θέατρον, ὡς τὰ πολλὰ ὔτε τῶν αἰτιῶν, ὔτε τῶν περιςάσεων τῶν τοῖς ἐγχειρήμασι προσυσῶν ἐπιψαύοντες. Ἕτεροι δέ τινες πολιτικὴν ἐπαγγελόμενοι περίνοιαν ὁποιανῦν κίνησιν ἢ ἐνέργειαν τῶν ἐπὶ τοῖς πράγμασιν ὄντων, μυςηριώδεσι καταζοφῦσιν ἑρμηνείαις, παραιρύμενοι τῆς φύσεως τὸ ἄνετον ἢ ἐλεύθερον, μηδὲ μεμνημένοι, ὅτι ἢ οἱ πολιτικώτατοι τῶν ἀνθρώπων, κἄντε Βασιλεῖς εἶσαν, κἄντε ὑπαλλήλυς διέπωεν ἀρχὰς, ἀνθρωπινώτερον ὅμως βιῦσι, ἢ τιμῶσι μὲν φρόνησιν, ἢ ὅσον ἐφικτὸν ἀσκῦσιν, ἐμβριθεῖ τε κρίσει τοῖς πράγμασιν ἐπιβάλλυσι, ἢ πρὸς τὰ φθάσαντα τῶν ἀξιολόγων παραδειγμάτων, οἷον εἰς ἔσοπτρον εἰσορῶτες, ἑαυτὺς διατελῦσι καλλωπίζοντες. ὐδὲ τὰ πάθη μέντοιγε σχολὴν ἄγει, ὐδ' ὁ παρὸν καιρὸς, ὐδ' ἡ κατάςασις τῶν ὑπ' ὄψιν πραγμάτων

ἠρεμεῖ, ὑπεξιςάμενά δῆθεν τοῦ κράτους τῷ πα-
ρεληλυθότι χρόνῳ. Πολλάκις γὰρ τῆς Φρο-
νήσεως ὑπαγορευούσης τὰ κοινῇ συνοίσοντα εἴθ'
ὑπὸ Φιλαυτίας παρασυρόμενον ἑτέραν ὁδὸν ἐ-
τράπη τὸ ἄρχον, εἴθ' ὑπὸ θυμοῦ εἰς παρά-
καιρον ἄμυναν ἐκκαιόμενον, οὐκ εἰς δέον τοῖς ἰ-
σχυροτέροις προσέκρουσεν, ἢ ἀθεραπεύτῳ ἀν-
τιπαθείᾳ τοὺς ἐχθροὺς τῶν προγόνων ἀποτρο-
πιαζόμενον, τὴν ἔς γε τὸ παρὸν ἀναγκαίαν
συμμαχίαν παρῃτήσατο. Ἐπὶ τοσοῦτον γὰρ
χωρεῖ ἡ ἐνδομυχοῦσα πολύπλοκος τῆς Φύσε-
ως ἰσχὺς, καὶ τοσαύτας ἔχει πτυχὰς (ὡς ἐν
τῇ λίαν κατηκριβωμένῃ ἱςορίᾳ, τοῦ ἐπὶ πολι-
τικῇ Φρονήσει θαυμαζομένου Ἐῤῥίκου εὐφυῶς πα-
ρατηρῶν ὑπαινίττεσθαι ὁ σοφὸς Βακῶνος,) ὥςε
τὰ ςοιχειώδη τῆς ἀτόμου Φύσεως ἁμαρτήματα
παραποδίζειν πολλάκις τὴν ἄλλων εὐτυχῆ τῶν
ἔργων ἀπόβασιν· κἀντεῦθεν μόλις πολλοῖς ἐ-
ρύμασιν ἀνορθοῦσθαι τὰ πεπονηκότα, καὶ ὑποῤ-
ῥέοντα, λανθανούσῃ τε Φύσεως ἀτελείᾳ ἐς γό-
νυ κάμψαι κινδυνεύοντα. Δεῖ δὴ τοὺς περὶ λό-
γους Φιλοπονουμένους κατὰ νόμους ἰατρῶν παρα-

Ε.Υ.Δ της Κ.τ. II ΙΩΑΝΝΙΝΑ 2005

πόδας ἕπεσθαι τῇ φύσει, ἀποδιδόντας μὲν ἢ τῇ πολιτικῇ περινοίᾳ, ἢ τῇ ἀντικειμένῃ διαθέσει τὰ καλῶς ἢ σκαιῶς ἀποβαίνοντα, διδόναι δὲ χρεὼν ϗ τῇ τῶν ἠθῶν, ϗ παθῶν, ϗ χαρακτήρων ἐπικρατείᾳ ἐξαίρετόν τι τῶν πραττομένων μόριον. Οὐκȣ̃ν προσήκει τȣ̀ς τε περὶ κωμῳδίαν ϗ τραγῳδίαν, αἳ κάτοπτρόν εἰσι παντοδαπȣ̃ βίȣ, μεμνῆσθαι μὲν τῶν παραληλυθότων αἰώνων, ἀνελίττοντας τῶν ἐν ἐκείνοις διαπρεψάντων τὰς βίβλȣς, ϗ ἐπὶ τοιαύτῃ λόγων ἰδέᾳ κλέος ἀραμένων, κἀκεῖθεν ἐμπιπλαμένȣς, ἐμπνεσμένȣς, ϗ μονονȣχὶ ἐνθȣσιῶντας, εἰς τὸ ἔργον χωρεῖν· ἀλλὰ μηδαμῶς ἐπιλήσμονας ἔξεστιν εἶναι τȣ̃ ἐνεστηκότος χρόνȣ, ϗ μάλιστα τῶν τρόπων ϗ χαρακτήρων τῶν ζώντων τογ᾿ ἐνυνέχον ἀνθρώπων. Οἱ γὰρ παλαιότητος ἐκτόπως ἐρῶντες, ϗ ὅλως ἐκείνῃ προσανακείμενοι τῶν παρόντων δῆθεν ὀλίγωροι, ἴσως ȣ̓κ ἂν εἶεν μωμητέοι καθ᾿ ἑαυτȣ̀ς ἐντρυφῶντες τῷ πράγματι· καθάπερ ὁπόσοι τὰ παλαιὰ τῶν νομισμάτων φιλοτίμως ἀνερευνῶντες, πολλȣ̃ ὠνȣ́μενοι, ϗ περιττῶς ἀ-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ. της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2005

ποταμευόμενα. οἱ δὲ τοιοῦτοι εἴγε εἰς ἀγορὰν ἀφικόμενοι ἐπὶ ὠνῇ τῶν ἐς βίον ἀναγκαίων παλαιὰ καταβαλοῦσι κέρματα, ἀγαπητὸν ἂν αὐτοῖς εἴη εἰ γέλωτα ὠφληκότες κεναῖς ἀνακάμψωσιν οἴκαδε παλάμαις. Δεῖ δὴ ἀπονέμειν ἑκάστῳ προσώπῳ τὸ προσῆκον ἦθος, καὶ Βασιλεῖ μὲν ἔν τε λόγοις καὶ ἤθει ὕψος ἐπαυγαζέτω. στρατηγὸν δ' ἀνδρεία καὶ μεγαλοψυχία κοσμείτω. πολιτευομένῳ τὸ ἐμβριθὲς, καὶ βαθύνουν ἐπανθείτω. γυναικὶ τὸ ἐμμανὲς, τὸ εὐμετάβολον, τὸ ἔν τε ἔρωτι καὶ ἀπεχθείᾳ ἄκρατον, οἷα κλῆρος ἀποδεδόσθω. ἰδιώτῃ τὸ ἀπεῤῥιμμένον καὶ περιδεὲς. ἐμπόρῳ τὸ εἰς ἀπάτην συγκεκροτημένον, καὶ ἀμφιλαφῶς ψευδόμενον ἀνατεθείσθω. καὶ νέοις μὲν τῆς ἐπιπολαζούσης τῷ βίῳ πλημμελείας οὔπω πεπειραμένοις ἀπονεμητέον τὸ ἐπιθυμητικὸν, τὸ φιλότιμον, τὸ ἀψίκορον, τὸ φιλόκαινον, τὸ φιλόνεικον, τὸ ὀξύθυμον, τὸ ἱτητικὸν, πρὸς τούτοις δὲ τὸ εὔηθες, τὸ εὔελπι, τὸ εὔπιστον, τὸ εὐεξαπάτητον, τὸ εὐμετάβολον, τὸ φιλάνθρωπον, τὸ ἐλεητικὸν τὸ ἐλευθέριον, τὸ φιλόφιλον, ἑνὶ λόγῳ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ. ΙΙ ΙΩΑΝΝΙΝΑ 2005

τοῖς παρὰ τῷ Ἀριστοτέλει χρώμασι καλλωπιστέον αὐτοὺς. ἐχέτω δὲ καὶ τὸ γῆρας μηδαμῶς ἀπρόσφυλόν τινα καὶ περίθετον, ἀλλὰ τὸν προσφυῆ καὶ προσήκοντα χαρακτῆρα τὸ φίλαυτον τὸ φιλόζωον, τὸ μικρόψυχον, τὸ μεμψίμοιρον, καὶ φιλαίτιον, καὶ δύσκολον, τὸ γλίσχρον, καὶ ἀνελεύθερον, τὸ δειλὸν καὶ κατεψυγμένον, τὸ ἀναίσχυντον, τὸ ἀδόλεσχον, τὸ ὀδυρτικόν. καὶ οἱ μὲν εὐγενείας παλαιότητι σεμνυνόμενοι, δόξης ἀκμὴν ἐρώντων σμικροπρεπείας ἁπάσης καὶ ῥυπαρίας ὅτι πορρωτάτω τελοῦντες, μεγάλα καὶ ἐξαίσια φρονούντων τε καὶ λεγόντων καὶ πραττόντων, διὰ παντὸς τοῦ βίου τὰ λαμπρὰ τῶν προγόνων παραδείγματα πρὸ ὀθαλμῶν ἔχοντες. οἱ δ᾽ ἐξ ὑπογυίου πεπλουτηκότες οὐκ ἀπεικὸς εἴγ᾽ ἐπικεχηνότες φαίνοιντο χρυσίῳ καὶ ἀργυρίῳ, τήν τε ἀλαζονείαν καὶ ὑπεροψίαν ἐχεγγύους διδοῖεν μάρτυρας χαμαιζήλου ψυχῆς. οἱ δὲ μοχθηροὶ ἀγέτωσαν καὶ φερέτωσαν τὸ θέατρον, σκευωροῦντες, μυρίας ἐπιβουλὰς καττύοντες, οὐδὲν ὑγιὲς οὔτε λέγοντες, οὔτε πράττοντες. οἵ τε πολυπράγμονες μηδέποθ᾽

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΚΑΙ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ

Ε.Υ.Δ. της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2005

ἡσυχίαν ἀγέτωσαν, ἀλλ᾽ ἐπιλήσμονες τῶν οἴκοι κακῶν, ἀναψηλαφήτωσαν τῶν ἄλλων τὰς μώλωπας. οἱ μεγαλοφυεῖς δὲ καὶ μεγαλόφρονες ὑψηλὰ φρονείτωσαν, νοσοῦντές τε καὶ παρακαίοντες πάλιν μάχας, καὶ μετ᾽ ἐχθρῶν συμπλοκὰς καὶ νίκας, καὶ τρόπαια φανταζέσθωσαν. εἰδ᾽ ὡς ἔχει τὰ ἀνθρώπινα εἰς κακίαν ἐκκυλισθεῖεν, θερμουργόν τινα, καὶ μεγαλουργὸν καὶ ἀνδρωδεστάτην κακίαν ἀσκείτωσαν. οἱ θυμῷ ζέοντες μηδαμῶς φοβείσθωσαν, κατὰ πυρὸς χωρείτωσαν. ὁμοίως δὲ καὶ οἱ ἐπ᾽ ἀκμὴν ἀφύκτων κινδύνων ἐληλακότες ἐπιπλέον θρασυνέσθωσαν, καὶ εἴγ᾽ ἐγχωρεῖ τὸν γενναῖον Σαμψὼν μεμείσθωσαν. ὁ γὰρ θυμὸς ὅλως ἄμυναν πνέων, περὶ πάντα τυφλώττει. οἵ τε ἀσφαλῶς ἤδη ναυαγοῦντες ἅτε πᾶσαν ἀποβεβληκότες σωτηρίας ἐλπίδα, ἐφ᾽ ὅτῳ ὀῤῥωδοῖεν οὐκ ἔχουσιν, ἐπείπερ ἡ πτοία μέλλοντος προσδοκία κακοῦ. ἐφεξῆς δὲ ὁ νήφων νηφέτω, καὶ ὁ μεθύων μεθυέτω. ὁ ἐρῶν μὴ ἐπιτυγχάνων τοῦ ἐρωμένου πῦρ πνείτω. ὁ δὲ θεοσεβὴς ἄλλο πῦρ πολλῷ λαμπρότερον καὶ ὀξύτερον

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ. Π ΙΩΑΝΝΙΝΑ 2005

πνέων, σώφρονί τινι μανίᾳ μαινέσθω, καὶ ὅλως ἀναφλεχθεὶς ἐν τῷ πυρὶ τῆς θείας ἀγάπης, καὶ κηροῦ δίκην καταναλωθεὶς καὶ διαπνευσθεὶς ἀποτεφρούσθω. ὁ θεῖος γὰρ ἔρως μάλιστα τρέφει ἥρωας ἀγαυοὺς, οἳ παντοδαπαῖς ἀρεταῖς καταυγάζονται, καὶ ὑπερφυεῖ τινι ἀνδρείᾳ καθοπλίζονται, πλὴν ἐνίοτε ὁπηνίκα ὑπὲρ φίλων, ὑπὲρ πατρίδος, ὑπὲρ ψυχῆς ὁ ἀγὼν εἴη, οὐκ αὐτίκα ξίφει καὶ πυρὶ, ἰταμότητί τε καὶ θράσει, ἀλλ' ἐπ' ἐδάφους ἐῤῥιμμένῳ, καὶ κρουνοῖς δακρύων περιῤῥύτῳ προσώπῳ εἰδότες ἐξιλεοῦσθαι τὸ θεῖον, πλήττουσι στεναγμοῖς τὸν ἀέρα, καὶ τῷ ἀπὸ τῶν ὀμμάτων ὄμβρῳ τὴν γῆν ἀρδεύουσι· τοιοῦτος παρ' Οὐϊργιλίῳ ὁ Αἰνείας διαζωγραφεῖται· εἴγ' ἔξεστι πρὸς τοὺς καθ' ἡμᾶς λαμπροὺς ἀστέρας παραθεωρεῖν τῶν Ἑλλήνων τὰς σκιάς. τῶν νεωτέρων δέ τις, ὃς μόνον Ἐπίκουρον ᾔδει τιμᾷν, πολύς ἐστι μεμφόμενος τῷ ποιητῇ, ὥς γε αὐτῷ δοκεῖ μέμψιν δικαίαν, ἅτε μὴ περιθέντι τῷ ἥρωϊ γενναιότερον χαρακτῆρα. Ἀλλὰ τί δεῖ μηκύνειν τὸν λόγον; δεῖ τι ἔνδον εἶναι, ἔλεγεν ὁ Διογένης. τῷ γὰρ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2005

ὄντι προσίθησιν ἤτε τέχνη, ϗ ἡ μελέτη, ϗ ἡ ἀνεπίμωμος μίμησις, ἥτις ἀπὸ τῶν ἀρίστων ποιητῶν ϗ λογογράφων πάνυ εὐφυῶς ἀποματτομένη, τὰ κάλλη τῶν ἠθῶν, ϗ τὸ προσφυὲς, ϗ κατάλληλον τῶν χαρακτήρων, ἐν ἰδίοις οἱονεὶ σύμβλοις φιλοπόνως ἐργάζεται τὸ ἡδύτατον τῶν λόγων μέλι.

Τοῦ δὲ Γραικοῦ πεπαυμένου τοῦ λέγειν, ὁ Ἰταλὸς ξένος οὐκ ἐπαύετο δι᾽ ἐπαίνων ἄγων τὴν ἀγχίνοιαν αὐτοῦ, ϗ τὴν ἐμβριθῆ περὶ λόγους κρίσιν, μάλιστα δὲ διὰ θαύματος εἶχε τὸ ζέον τοῦ θείου ἔρωτος, ὃ ἐν τοῖς φθάσασι λάβρως διέλαμπεν. ἦν δὲ θαυμάσαι ϗ τὸ οὐδὲν ἔλαττον διάπυρον τῆς γνώμης τοῦ Ἰταλοῦ, ϗ ὡς πολὺς ἦν ἐν τοῖς περὶ Πλάτωνα ἐπαίνοις εἰς μέσον ἄγων, ϗ μυρίοις ἐγκωμίοις ἐξαίρων Φικῖνον τε ϗ Μιρανδουλάνον· Ἐπὶ τοσοῦτον δ᾽ ἀνεφλέγετο τῷ ἔρωτι, ὥστε μονονουχὶ ἐνθουσιῶν ἀποστοματίζειν τὰ ἐν τῷ συμποσίῳ τοῦ Πλάτωνος, ἵλεων, ἀγαθὸν, ζηλωτὸν, τρυφῆς, ἁβρότητος, χλιδῆς, χαρίτων, ἱμέρου πόθου ἀποκαλῶν πατέρα, ϗ τὸν

χαμαιπετῆ ϗ πάνδημον, ἀλλὰ τὸν ὑπερφυῆ, τὸν ὑπερκείμενον, τὸν θεῖον ἔρωτα. ϗ ἔδωκεν ἂν ἡμῖν ὑπόνοιαν ἐπιῤῥεπῶς ἔχειν ἐς τὴν ἀποτρόπαιον τῶν ἡσυχαστῶν αἵρεσιν θείου ἔρωτος προσχήματι, εἰς παντοδαπῶν, ϗ ἀπειρημένων ἡδονῶν ἀπόλαυσιν, ἀδεῶς ἀποδυσμένης, εἴγε μὴ ὥσπερ κολοφῶνα ἐπιθεὶς τῷ λόγῳ, ὁπόσα ἐκ τοῦ παραχρῆμα ἐπῆλθεν εἰπεῖν αὐτῷ κατὰ ἀθέων ϗ δεισιδαιμόνων, οὐ μόνον ἔξω γέγονε μώμου, ἀλλὰ ϗ θεοσεβοῦς ἀνδρὸς δόξαν ἀπηνέγκατο. τὰ δὲ παρ᾽ αὐτοῦ εἰρημένα, ὅσαγε τῷ ἀδρανεῖ τῆς ἐμῆς παριζάνει μνήμης, οὕτως εἶχεν.

## Κατὰ ἀθέων ϗ δεισιδαιμόνων.

Εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ οὐκ ἔστι Θεός. Οἱ σοφῶς ἅμα ϗ εὐσεβῶς ἀνερευνῶντες τῶν ἠθῶν οὐδὲν μεῖον, ἢ τὰ τῆς φύσεως ἐνδόμυχα, οὐχ ἁπλῶς, φασιν, οὐδ᾽ ἄνευ βαθυτέρας ἐννοίας τὸν Προφήτην φάναι. εἶπεν

ὁ ἄφρων; ἀλλ' οὐ διενοήσατο. εἰ γὰρ διανοησάμενος ἔφθη, οὐδέποτ' ἂν ἐξήνεγκεν οὕτω βλάσφημον λόγον· οἱ γὰρ ἀληθῶς καὶ ἀσφαλῶς φιλοσοφοῦντες ἐξαισίοις λόγοις στηλιτεύουσι τὴν ἄνοιαν τῶν ἀθείαν νοσούντων· ἱκανῶς δὲ τούτοις ἐπιστομίζει καὶ ἡ ἀξιάγαστος, καὶ πολύφυλλος, καὶ σοφίας ἀνάμεστος τοῦ φαινομένου κόσμου βίβλος, ἐν ᾗ ὁ δημιουργὸς τοῦ παντὸς τοὺς ἐπισημοτάτους καὶ λαμπροτάτους τῆς αὐτοῦ σοφίας καὶ προνοίας ἐγκολάψας χαρακτῆρας ἀνεπέτασε, καὶ προὔθηκε ταῖς ἁπάντων ὄψεσι, καὶ ὡς ἔφη τις παιδείας μετειληφὼς, ὁποιουοῦν δένδρου ἕκαστον φύλλον κατάλογός ἐστι τῶν τοῦ Θεοῦ μεγαλείων, οὕτω καὶ διὰ μεγάλων καὶ διὰ μικρῶν ἡ τοῦ δημιουργοῦ τῶν ὅλων δείκνυται σοφία καὶ πρόνοια, ἡ δ' ἡμετέρα ἄνοια τέθηπε καὶ ἐλιννύει. ἐκεῖνο δ' ἐλέους ἄξιον τὸ τοὺς νοσοῦντας ταύτην τὴν νόσον, ἥκιστ' ὥς γε εἰκὸς ἦν ἀναζητεῖν τὴν θεραπείαν τοῦ πάθους, ὁτῳοῦν δὲ τρόπῳ, βαβαὶ τῆς ἀπονοίας, ἀφορμὰς θηρεύειν εἰς ἀνατροπὴν ὅσον τὸ κατ' αὐτοὺς τῆς εὐσεβείας. κρατοῦναι γὰρ οἱ παλαι-



Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2005

χαῖοι προθυμούμενοι τὸ σαθρὸν τοῦ δόγματος, τοῦτο δὴ τὸ τοῦ λόγου, πάντα κάλων κινοῦσιν. ἐπειδὰν δ᾽ ἐν ὁποιῳοῦν τῆς πολυτελοῦς φύσεως μέρει, εἰς τοὺς ἀνεξαλείπτους χαρακτῆρας τῆς θείας ὑπάρξεως καὶ προνοίας ἐμπέσωσι, μηδὲ τότ᾽ ἀνανήφουσι, μηδὲ χαίροντες ἐπὶ τῇ ἐπιτυχίᾳ ἀπόμνυνται τὴν πρὶν βδελυρίαν, χεῖρας ἐνδιδόντες τῇ δυνάμει τῆς ἀληθείας, ἀλλ᾽ ἐθελοντὶ κακουργοῦσιν ἐπ᾽ ὀλέθρῳ σφῶν αὐτῶν τῇ ἰλύϊ προσετηκότες. Τῶν οὕτω δ᾽ ἀνιάτως ἐχόντων μέμνημαί του ἄνευ ἐρυθήματος λέγοντος, λίαν ἀθύμως ἔχειν, ἅτε μὴ ἰσχύοντα τῶν ἐναποκειμένων τοῖς ζώοις γεννητικῶν σπερμάτων, καὶ τῶν συνεχόντων αὐτὰ ὀργάνων πιθανῶς ἐπιγράψασθαι τοὺς λόγους, γυμνῇ τῇ φύσει καὶ τῇ συνδρομῇ τῶν ἀτόμων. Ἐκεῖνα γὰρ εἰς τὴν ἀλληλοδιάδοχον τοῦ εἴδους συντήρησιν τείνοντα, διαῤῥήδην ἐμφανίζει νῷ καὶ λόγῳ συγκεκροτῆσθαι. καὶ δὴ βρενθυόμενος ὁ γεννάδας ἐκαυχᾶτο, εἴγ᾽ ἐξὸν αὐτῷ εἴη κατὰ τὴν φιλοσοφίαν τῶν νεωτέρων ἀνευρεῖν τὴν αἰτίαν τῆς τοιαύτης κατασκευῆς, γυμνῇ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2005

τῇ κεφαλῇ ἀνακηρύξαι ἂν τὸ ἀνόσιον τῆς αὐτοῦ γνώμης, προπεριφέρων οἷον ἰσχυρὰ ἐπιχειρήματα, ὡς εἴγε κατὰ τὸ δοκοῦν ἡμῖν τοῖς εὐσεβέσιν ὁ ὑετὸς κατεπέμπετο, ὅπως τὴν γῆν αὐχμῶσαν ἀρδεύσῃ, οὐκ ἂν εἰς θάλασσαν ἔπιπτεν, εἰς τοσαύτην ὁ δύστηνος συνελαύνων φειδωλίαν τὸ ἀνεξάντλητον τῶν θείων θησαυρῶν, τῶν δικαίους καὶ ἀδίκους ἀειρρύτοις φωτὸς κρουνοῖς πλουτιζόντων, καὶ ναυσιπόροις ποταμοῖς ἐφήμερα ποτιζόντων θρέμματα, εὐποιοῦντε πλουσιωτάταις πηγαῖς ἅπασαν περικλυζόντων τὴν κτίσιν, ὅπου γε κηπουρὸς τ' ἄλλα φαινόμενος, καὶ πολλῷ τῷ ἱδρῶτι ἀπὸ τυφλοῦ τινος εἰ τύχοι φρέατος, ὕδωρ ἀνιμώμενος ἐπ' ἀρδείᾳ καρποφόρων δένδρων, οὐκ ὀλίγων μεταδίδωσι ῥανίδων καὶ τῇ παρακειμένῃ καίπερ ἀκάρπῳ γῇ. Ἀλλ' ἵνα μὴ μηκύνω τὸν λόγον, πρὸς τοῖς ἄλλοις κἀκεῖθεν ἐρρύη ἡ περὶ τὴν εὐσέβειαν ψυχρότης, εἰς τὸν καθ' ἡμᾶς αἰῶνα τὸν θαυμασίως παντοδαπῇ παιδείᾳ καλλωπιζόμενον, ἐπείπερ ἔνιοι τῶν νέων φιλοσόφων εἰς τὴν ἀνάβασιν τῆς περὶ τὸ θεῖον ἐν-

νοίας ὁδηγῷ χρῶνται τῷ νοῒ, μηδαμῶς ἀνερευνῶντες τὴν καρδίαν; ᾗ διαῤῥήδην ἐνῆκεν ὁ Θεὸς, τὰ σπέρματα ϗ τὰς ῥίζας τῆς πρὸς αὐτὸν ἀγάπης, ἀπὸ δὲ τῆς ἀγάπης ἀναβλαςάνει ἤγε ἐφικτὴ ἐν τῷ ἐπικήρῳ βίῳ τῆ θείᾳ γνῶσις. Ὁπόσοι δ᾽ ὑγιῆ νῦν ἔχουσιν ἀποτροπιαζόμενοι τὴν ἀπόπτυςον ἀσέβειαν, ἐδὲν μεῖον ἀποκλίνουσι τὸ δεισιδαῖμον, ὅγε ἐπὶ τοῖς ἄλλοις ἐςὶν ἐν αἰτίᾳ ἐκτραχηλιωθῆναι, πολλὲς εἰς θάτερον τῶν ἄκρων παραδραμόντας τὴν ἐν τῷ μέσῳ ἱδρυμένην εὐσέβειαν. αἴρει γὰρ ἐκ μέσου δεισιδαιμονῦσα ψυχὴ τὴν ἐλπίδα τὴν ὄντως ἱερὰν ἄγκυραν, ματαίων φόβων, ϗ ἀφορήτου λύπης ἐμπιπλῶσα ἑαυτήν τε ϗ τὲς αὐτῇ πελάζοντας, ἀπογυμνοῖ τε ὅσον τὸ κατ᾽ αὐτὴν τὸ θεῖον τῶν ὑπερκειμένων ἰδιωμάτων, ϗ μάλιςα περιαιρῦσα τὴν ἄπειρον εὐσπλαγχνίαν, ϗ τὸν ἐλέους πλήρη δημιουργὸν ϗ συνοχέα, οἱονεί τινα τύραννον δυσσεβῶς διαζωγραφῦσα· ἀτιμάζει δὲ ϗ τὰ ἐκείνου δημιουργήματα, ἀργὰ, ϗ ὅλως ἀνενέργητα κύκλῳ περιϊέναι ἐκ ὀρθῶς οἰομένη. τὸν δὲ ποιητὴν εἰς

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2005

ἀπρόσφυλόν τινα τάξιν κατασπῶσα, καὶ διισχυριζομένη ὁσημέραι καὶ ἐν τοῖς καθ' ἕκαστα τοῖς γενικοῖς προνοίας λόγοις μάλα εὐτάκτως χωροῦσι θαυματουργεῖν, ἀλλ' ὁ δημιουργὸς τῶν ὅλων Θεὸς ὁ τῷ ὄντι ἄριστος, καὶ μέγας βασιλεὺς καθ' εἱρμὸν τῶν νόμων, οὓς ἅπαξ καλῶς ἐπήξατο, ὑπὸ τῶν ὑπαλλήλων, οἷον εἰπεῖν, ἀρχῶν διοικεῖσθαι συγχωρεῖ τὸ τοῦ παντὸς πολίτευμα. ἐνίοτε δὲ εἰς ἐπίδειξιν τῆς ὑπερκειμένης αὐτοῦ παντοδυναμίας, ἐξαισίοις θαύμασι καταπλήττει τὰς ὅλως ἐπτοημένας ταῖς ὑποτεταγμέναις αἰτίαις ψυχάς.

Ἵνα δὲ οὕτω καλῶν λόγων ἐμφορηθεὶς, μὴ μόνος ἐγὼ ἀσύμβολος εἴην, ὁπόσα πάνυ καιρίως εἴρητο περὶ δεισιδαιμονίας τῷ Ἰταλῷ ἐπιβεβαιωσόμενος ἔφην.

## Περὶ Μωρίας.

Ἡ δεισιδαιμονία παρ' Ὀθωμανοῖς μωρίας προσωπεῖον ὑποδῦσα, τῶν ἁπλουστέρων κα-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ. της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2005